ρων ἡμῶν ὡρισμένα κανονίσματα καὶ ὁρίσματα. Ἢ τοίνυν δεῖξον τοῖς Γραικοῖς ἱερεῦσιν ὅτι παραβαίνουσι τὰς τῶν Πατέρων νομοθεσίας, ἐὰν μὴ τῆς ὑποταγῆς γίνωνται τῆς πρεσβυτέρας Ῥώμης, ἢ μὴ δεῖξαι δυνάμενος, μὴ βίαζε περαιτέρω, ἀλλ' ἔασον ἕκαστον τὸ πάτριον φυλάττεσθαι σέβας ἀκαινοτόμητον καὶ πείθεσθαι τοῖς ἰδίοις ἡγουμένοις, οἷς καὶ γνώμῃ καὶ γλώττῃ ὁμοφωνεῖ. Κεφάλαιον τοῦ λόγου. Ἐν ποίᾳ μοίρᾳ ἡ μεγαλειότης σου τάττει τοὺς προσταλαιπωροῦντας τῇ φυλακῇ πρεσβυτέρους; Εἰ μὲν μετὰ τῶν ὀρθοδόξων τούτους ἀπαριθμεῖς, ἐννόησον πόσον ἐστὶ κακὸν ὀρθοδόξους ἀνθρώπους κακοποιεῖν· εἰ δὲ μερίδος τῶν αἱρετικῶν παρὰ σοὶ κριτῇ τάττονται, οὐδ' οὕτως ὀφείλεις ἀναγκάζειν αὐτούς, ἐὰν Πέτρου καὶ Παύλου μαθητὴς εἶναι μεγαλαυχῇς. Ὁ μὲν γὰρ Πέτρος μὴ ἀναγκαστῶς ποιμαίνειν τὸ ποίμνιον τοῦ Θεοῦ διδάσκει σαφῶς· ὁ Παῦλος δὲ καὶ αὐτὸς σαφέστερον τὸν λόγον ποιεῖ λέγων. Αἱρετικὸν ἄνθρωπον μετὰ πρώτην καὶ δευτέραν παραίνεσιν παραιτοῦ. Πρόσχες ὅτι παραίνεσιν εἶπεν, οὐχὶ βίαν. Εἰ δὲ τοὺς αἱρετικοὺς παραινεῖν χρή, διατί ὀρθόδοξοι φυλακίζονται; ὀρθόδοξοι γάρ εἰσι διὰ τῆς χάριτος τοῦ ἀληθινοῦ Θεοῦ οἱ τῆς ἡμετέρας Ἐκκλησίας τρόφιμοι, καὶ τὰ εὐσεβῆ δόγματα καὶ προσκυνοῦσι καὶ σέβονται, καὶ τὰς τῶν οἰκουμενικῶν καὶ ἁγίων Συνόδων πράξεις καὶ τοὺς κανόνας ἀσπάζονται, ὥσπερ δὴ καὶ τὰς τοπικὰς Συνόδους ὡς ὁμόφρονας τῶν οἰκουμενικῶν ἐνστερνίζονται. Ταῦτα πρὸς τὴν σὴν μεγαλειότητα ἐγράψαμεν, ἵνα τὸ δίκαιον δυσωπηθῇ καὶ τῆς ἀδίκου φυλακῆς καὶ πολυμεροῦς κακοπαθείας τοὺς τῶν Γραικῶν ἱερεῖς ἀπολύσῃ κτλ. (α).

*Ὁ Ἐφέσου.* Ἐν τῷ ὑπ' ἀριθμὸν 355 χειρογράφῳ τῆς ἐν Μόσχᾳ βιβλιοθήκης τῆς ἱερᾶς Συνόδου ὑπάρχει σύγγραμμα, οὗ ἡ ἀρχὴ λείπει, ἐπιγραφόμενον οὕτω. Τοῦ Ἐφέσου

(α) Χειρόγρ. Μαρκιαν. βιβλιοθ. ἀριθ. 575 σελ. 353.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ